Βέβρυκες

# Μαριανδυνοί

θέλγεθ᾽ ἀκουῇ θυμόν· ἄχος δ᾽ ἕλεν Ἡρακλῆι
λειπομένῳ, καὶ τοῖον ἔπος πάντεσσι μετηύδα
"ὦ φίλοι, οἵου φωτὸς ἀποπλαγχθέντες ἀρωγῆς
πείρεθ᾽ ἐς Αἰήτην τόσσον πλόον. εὖ γὰρ ἐγώ μιν
Δασκύλου ἐν μεγάροισι καθ᾽ αὐτόθι πατρὸς ἐμοῖο
οἶδ᾽ ἐσιδών, ὅτε δεῦρο δι᾽ Ἀσίδος ἠπείροιο
πεζὸς ἔβη ζωστῆρα φιλοπτολέμοιο κομίζων
Ἱππολύτης· ἐμὲ δ᾽ εὗρε νέον χνοάοντα ἰούλους.
ἔνθα δ᾽ ἐπὶ Πριόλαο κασιγνήτοιο θανόντος
ἡμετέρου Μυσοῖσιν ὑπ᾽ ἀνδράσιν, ὅντινα λαοὶ
οἰκτίστοις ἐλέγοισιν ὀδύρεται ἐξέτι κείνου,
ἀεθλεύων Τιτίην ἀπεκαίνυτο πυγμαχέοντα
καρτερόν, ὃς πάντεσσι μετέπρεπεν ἠιθέοισιν
εἶδός θ᾽ ἠδὲ βίην· χαμάδις δέ οἱ ἤλασ᾽ ὀδόντας.
αὐτὰρ ὁμοῦ Μυσοῖσιν ἐμῷ ὑπὸ πατρὶ δάμασσεν
καὶ Φρύγας, οἳ ναίουσιν ὁμώλακας ἡμῖν ἀρούρας
φῦλά τε Βιθυνῶν αὐτῇ κτεατίσσατο γαίῃ,
ἐς τ᾽ ἐπὶ Ῥηβαίου προχοὰς σκόπελόν τε Κολώνης·
Παφλαγόνες δ᾽ ἐπὶ τοῖς Πελοπήιοι εἴκαθον αὔτως,
ὅσσους Βιλλαίοιο μέλαν περιάγνυται ὕδωρ.
ἀλλά με νῦν Βέβρυκες ὑπερβασίη τ᾽ Ἀμύκοιο
τηλόθι ναιετάοντος ἐνόσφισαν Ἡρακλῆος
δὴν ἀποτεμνόμενοι γαίης ἅλις, ὄφρ᾽ ἐβάλοντο

Βέβρυκες

Μαριανδυνοί·

αυτῇσιν νήεσσι, κακῇ χρίμψαντας αϋτμῇ.
τῇ ῥ' οίγ' αυτίκα νηι διεξ Αχερουσίδος άκρης
εισωποι ανέμοιο νέον λήγοντος έκελσαν.
ου δ' άρα δηθα Λύκον, κείνης πρόμον ηπείροιο
και Μαριανδυνούς λάθον ανέρας ορμηθέντες
αυθένται Αμύκοιο κατα κλέος, ὃ πριν άκουον
αλλα και αρθμον έθεντο μετα σφίσι τοῖο έκητι,
αυτον δ' ώστε θεον Πολυδεύκεα δειδέχατο
πάντοθεν αγρόμενοι· επεὶ ἦ μάλα δὴν επι σφιν
αντιβίην Βέβρυξιν υπερφιάλοις πολέμιζον.
και δη πασσυδίῃ μεγάρων έντοσθε Λύκοιο
κειν' ήμαρ φιλότητι μετα πτολίεθρον ιόντες,
δαίτην αμφίεπον, τέρποντο τε θυμον έπεσσιν
Αισονίδης μεν οι γενεην και ούνομ' εκάστου
σφωιτέρων μυθεῖθ' ετάρων, Πελίαό θ' εφετμας
ηδ' ως Λημνιάδεσσιν επεξεινοῦντο γυναιξίν,
όσσα τε Κύζικον αμφι Δολιονίην ετέλεσσαν,
Μυσίδα θ' ως αφίκοντο Κίον θ', όθι κάλλιπον ήρω
Ηρακλέην αέκοντι νόῳ, Γλαύκοιο τε βάξιν
πέφραδε, η Βέβρυκας όπως Άμυκόν τ' εδάιξαν
και Φινῆος έειπε θεοπροπίας τε δύην τε
ηδ' ως Κυανέας πέτρας φύγον, ώς τ' αβόλησαν
Λητοΐδῃ κατα νῆσον. ο δ' εξείης ενέποντος

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Βέβρυκες
Μαριανδυνοί

αὖραι βαθυρρείοντος ἐφ' ἀγκῶνας Ὑπίοιο
ἥμοσε δ' ἐξ ὑμέων ἔδοσαν θεῖον· οὐδέ ἑ φημὶ
ἤματι τῷδ' ἀέκητι θεῶν ἐπελάσσαι Ἄρηα,
Τυνδαρίδην Βέβρυξιν, ὅτ' ἀνέρα κεῖνον ἔπεφνεν.
τῶ νῦν ἥντιν' ἐγὼ τῖσαι χάριν ἄρμενός εἰμι,
τίσω προφρονέως. ἡ γὰρ θέμις ἠπεδανοῖσιν
ἀνδράσιν, εὖτ' ἄρξωσιν ἀρείονες ἄλλοι ὀφέλλειν·
ξυνῇ μὲν πάντεσσιν ὁμόστολον ὕμμιν ἕπεσθαι
Δάσκυλον ὀτρυνέω, ἐμὸν υἱέα· τοῖο δ' ἰόντος
ἦ τ' ἂν ἐυξείνοισι διὲξ ἁλὸς ἀντιάοιτε
ἀνδράσιν, ὄφρ' αὐτοῖο ποτὶ στόμα Θερμώδοντος.
νόσφι δὲ Τυνδαρίδαις Ἀχερουσίδος ὑψόθεν ἄκρης
εἴσομαι ἱερὸν αἰπύ· τὸ μὲν μάλα τηλόθι πάντες
ναυτίλοι ἂμ πέλαγος θηεύμενοι ἱλάξονται·
καί κέ σφιν μετέπειτα πρὸ ἄστεος, οἷα θεοῖσιν,
πίονας εὐαρότοιο γύας πεδίοιο ταμοίμην.
ὣς τότε μὲν δαῖτ' ἀμφὶ πανήμεροι ἐψιόωντο.
ἦρι γε μὴν ἐπὶ νῆα κατήϊσαν ἐγκονέοντες·
καὶ δ' αὐτὸς σὺν τοῖσι Λύκος κίε, μυρί' ὀπάσσας
δῶρα φέρειν· ἅμα δ' υἱα δόμων ἐκ πέμπε νέεσθαι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ἔθνη.

Συμπληγάδες. **Βέβρυκες**

Αμ. Μαρκελλῖνος XXII. 8. 13.

...extremitates autem arcus utrimque tenues duo exprimunt Bospori a regione sibi oppositi Thracius et Cimmerius, hac causa Bospori vocitati, quod per eos quondam Inachi filia mutata, ut poetae loquuntur, in bovem ad mare Ionium permeavit.

Dextram igitur inflexionem Bospori Thracii accipit Bithyniae latus, quam veteres dixere Mygdoniam, in qua Thynia et Mariandena sunt regiones et Amyci saevitia Bebryces exempti virtute Pollucis, remotaque statio, in qua volitantes minaciter Harpyias Phineus vates horrebat; per quae litora in sinus oblongos curvatos Sangarius et Phyllis et Lycus et Rhebas fluvii funduntur in maria, quibus contra versae Cyaneae sunt Symplegades...